ἡδέως γενομένη.᾿ ὁ μὲν οὖν Σινόριξ ἐν φορείῳ κομιζόμενος μετὰ μικρὸν ἐτελεύτησεν, ἡ δὲ Κάμμα τὴν ἡμέραν ἐπιβιώσασα καὶ τὴν νύκτα λέγεται μάλ᾿ εὐθαρσῶς καὶ ἱλαρῶς ἀποθανεῖν.᾿

**23.** Πολλῶν δὲ τοιούτων γεγονότων καὶ παρ᾿ ἡμῖν καὶ
E παρὰ τοῖς βαρβάροις, τίς ⟨ἂν⟩ ἀνάσχοιτο τῶν τὴν Ἀφροδίτην λοιδορούντων, ὡς Ἔρωτι προσθεμένη καὶ παροῦσα κωλύει φιλίαν γενέσθαι; τὴν μὲν πρὸς ἄρρεν᾿ ἄρρενος ὁμιλίαν, μᾶλλον δ᾿ ἀκρασίαν καὶ ἐπιπήδησιν, εἴποι τις ἂν ἐννοήσας

῾ὕβρις τάδ᾿ οὐχὶ Κύπρις ἐξεργάζεται᾿ (Tr. adesp. 409).

διὸ τοὺς μὲν ἡδομένους τῷ πάσχειν εἰς τὸ χείριστον τιθέμενοι γένος κακίας οὔτε πίστεως μοῖραν οὔτ᾿ αἰδοῦς οὔτε φιλίας νέμομεν, ἀλλ᾿ ὡς ἀληθῶς κατὰ τὸν Σοφοκλέα (fr. 779)

῾φίλων τοιούτων οἱ μὲν ἐστερημένοι
[καὶ] χαίρουσιν, οἱ δ᾿ ἔχοντες εὔχονται φυγεῖν.᾿

ὅσοι δὲ μὴ κακοὶ πεφυκότες ἐξηπατήθησαν ἢ κατεβιά-
F σθησαν ἐνδοῦναι καὶ παρασχεῖν ἑαυτούς, οὐδένα μᾶλλον ἀνθρώπων ἢ τοὺς διαθέντας ὑφορώμενοι καὶ μισοῦντες διατελοῦσι καὶ πικρῶς ἀμύνονται καιροῦ παραδόντος· Ἀρχέλαόν τε γὰρ ἀπέκτεινε Κρατέας ἐρώμενος γεγονώς, καὶ τὸν Φεραῖον Ἀλέξανδρον Πυθόλαος· Περίανδρος δ᾿ ὁ Ἀμβρακιωτῶν τύραννος ἠρώτα τὸν ἐρώμενον εἰ μήπω κυεῖ, κἀκεῖνος παροξυνθεὶς ἀπέκτεινεν αὐτόν. ἀλλὰ γυ-
769 ναιξί γε ⟨καὶ⟩ γαμέταις | ἀρχαὶ ταῦτα φιλίας, ὥσπερ